τὸ πατρικὸν καὶ βλαβερὸν τὸ κηδεμονικὸν καὶ τὸ ἀμήνιτον
ἄγριον εἶναι καὶ θηριῶδες. εἶτα χαλκοτύποις μὲν πείθονται
καὶ λιθοξόοις καὶ κηροπλάσταις ἀνθρωπόμορφα τῶν θεῶν τὰ
σώματα εἶναι, καὶ τοιαῦτα πλάττουσι καὶ κατασκευάζουσι καὶ
προσκυνοῦσι· φιλοσόφων δε καὶ πολιτικῶν ἀνδρῶν καταφρο-
νοῦσιν ἀποδεικνύντων τὴν τοῦ θεοῦ σεμνότητα μετὰ χρηστό-
τητος καὶ μεγαλοφροσύνην μετ' εὐνοίας καὶ κηδεμονίας. E
περίεστιν οὖν τοῖς μὲν ἀναισθησία καὶ ἀπιστία τῶν ὠφελούν-
των, τοῖς δὲ ταραχὴ καὶ φόβος πρὸς τὰ ὠφελοῦντα. καὶ ὅλως
ἡ μὲν ἀθεότης ἀπάθεια πρὸς τὸ θεῖόν ἐστι μὴ νοοῦσα τὸ
ἀγαθόν, ἡ δὲ δεισιδαιμονία πολυπάθεια κακὸν τὸ ἀγαθὸν
ὑπονοοῦσα. φοβοῦνται τοὺς θεοὺς καὶ καταφεύγουσιν ἐπὶ
τοὺς θεούς, κολακεύουσι καὶ λοιδοροῦσιν, εὔχονται καὶ κατα-
μέμφονται.

Κοινὸν ἀνθρώπων τὸ μὴ πάντα διευτυχεῖν·

‘κεῖνοι γὰρ ἄνοσοι καὶ ἀγήραοι
πόνων τ' ἄπειροι, βαρυβόαν
πορθμὸν πεφευγότες Ἀχέροντος’,

ὁ Πίνδαρός φησι (fr. 143), τὰ δ' ἀνθρώπινα πάθη καὶ πράγ- F
ματα μέμικται συντυχίαις ἄλλοτ' ἄλλως ῥεούσαις. (7.) φέρε
δὴ πρῶτον ἐν τοῖς ἀβουλήτοις σκόπει τὸν ἄθεον καὶ κατα-
μάνθανε τὴν διάθεσιν, ἐὰν ᾖ τἄλλα μέτριος, χρωμένου σιωπῇ
τοῖς παροῦσι καὶ πορίζοντος αὑτῷ βοηθείας καὶ παρηγορίας,
ἂν δὲ δυσφορῇ καὶ βαρυπαθῇ, πάντας ἐπὶ τὴν τύχην καὶ τὸ
αὐτόματον ἀπερειδομένου τοὺς ὀδυρμοὺς | καὶ βοῶντος ὡς οὐ- 168